πρὸς τὴν ἡμίσειαν τῆς ΖΔ· καὶ ὡς ἄρα ἡ τῆς ΑΓ διπλῆ
πρὸς τὴν ΓΔ, οὕτως ἡ ΜΖ πρὸς τὴν ἡμίσειαν τῆς
ΖΔ· καὶ τῶν ἑπομένων τὰ ἡμίση· ὡς ἄρα ἡ τῆς
ΑΓ διπλῆ πρὸς τὴν ἡμίσειαν τῆς ΓΔ, οὕτως ἡ
ΜΖ πρὸς τὸ τέταρτον τῆς ΖΔ· καί ἐστι τῆς μὲν ΑΓ
διπλῆ ἡ ΔΓ· τῆς δὲ ΓΔ ἡμίσεια ἡ ΓΜ· τῆς δὲ
ΖΔ τέταρτον μέρος ἡ ΖΚ· ἔστιν ἄρα ὡς ἡ ΔΓ
πρὸς τὴν ΓΜ, οὕτως ἡ ΜΖ πρὸς τὴν ΖΚ· συνθέν-
τι, καὶ ὡς συναμφότερος ἡ ΔΓ^{μ} πρὸς τὴν ΓΜ, οὕ-
τως ἡ ΜΚ πρὸς ΖΚ· καὶ ὡς ἄρα τὸ ἀπὸ συναμ-
φοτέρου τῆς ΔΓ^{μ} πρὸς τὸ ἀπὸ ΓΜ, οὕτως τὸ ἀ-
πὸ ΜΚ πρὸς τὸ ἀπὸ ΚΖ· καὶ ἐπεὶ τῆς ὑπὸ δύο πλευ-
ρὰς τοῦ πενταγώνου ὑποτεινούσης, οἷον τῆς ΑΓ,
ἄκρον καὶ μέσον λόγον τεμνομένης, τὸ μεῖζον τμῆ-
μα ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ, τουτέ-
στι τῇ ΔΓ· τὸ δὲ μεῖζον τμῆμα προσλαβὸν τὴν
ἡμίσειαν τῆς ὅλης, πενταπλάσιον δύναται τοῦ
ἀπὸ τῆς ἡμισείας τῆς ὅλης· καί ἐστιν ὅλης τῆς
ΑΓ ἡμίσεια ἡ ΓΜ· τὸ ἄρα ἀπὸ τῆς ΔΓ^{μ} ὡς μιᾶς,
πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΜ· ὡς δὲ τὸ ἀ-
πὸ τῆς ΔΓ^{μ} ὡς μιᾶς πρὸς τὸ ἀπὸ τῆς ΓΜ, οὕτως
ἐδείχθη τὸ ἀπὸ τῆς ΜΚ πρὸς τὸ ἀπὸ τῆς ΚΖ·
πενταπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΜΚ τοῦ ἀπὸ τῆς
ΚΖ· ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΚΖ· ῥητὴ γὰρ ἡ διά-
μετρος· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΜΚ· ῥητὴ ἄ-
ρα ἐστὶν ἡ ΜΚ· λόγον γὰρ ἔχει ὃν, ἀριθμὸς πρὸς

ἀριθμὸν τὸ ἀπὸ τῆς ΜΚ πρὸς τὸ ἀπὸ ΚΖ· καὶ ἐπεὶ τετρα-
πλασία ἐστὶν ἡ ΒΖ τῆς ΖΚ· πενταπλασία ἄρα ἐστὶν
ἡ ΒΚ τῆς ΚΖ· εἰκοσιπενταπλάσιον ἄρα τὸ ἀπὸ τῆς
ΒΚ τοῦ ἀπὸ τῆς ΚΖ· πενταπλάσιον δὲ τὸ ἀπὸ τῆς
ΜΚ τοῦ ἀπὸ τῆς ΚΖ· πενταπλάσιον ἄρα τὸ ἀπὸ
τῆς ΒΚ τοῦ ἀπὸ τῆς ΚΜ· τὸ ἄρα ἀπὸ τῆς ΒΚ πρὸς
τὸ ἀπὸ τῆς ΜΚ λόγον οὐκ ἔχει ὃν, τετράγωνος ἀρι-
θμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα
ἐστὶν ἡ ΒΚ τῇ ΚΜ μήκει· καί ἐστι ῥητὴ ἑκατέρα αὐτῶν·
αἱ ΒΚ ΚΜ ἄρα ῥηταί εἰσιν δυνάμει μόνον σύμμετροι·
ἐὰν δὲ ἀπὸ ῥητῆς ῥητὴ ἀφαιρεθῇ δυνάμει μόνον
σύμμετρος οὖσα τῇ ὅλῃ, ἡ λοιπὴ ἄλογός ἐστιν·
ἀποτομὴ ἄρα ἐστὶν ἡ ΜΒ· προσαρμόζουσα δὲ αὐ-
τῇ ἡ ΜΚ· λέγω δὴ ὅτι καὶ τετάρτη· ᾧ γὰρ μεῖζόν
ἐστι τὸ ἀπὸ τῆς ΒΚ τοῦ ἀπὸ τῆς ΚΜ, ἐκείνῳ ἴσον
ἔστω τὸ ἀπὸ τῆς Ν· ἡ ΒΚ ἄρα τῆς ΚΜ μεῖζον δύναται
τῇ Ν· καὶ ἐπεὶ σύμμετρός ἐστιν ἡ ΚΖ τῇ ΖΒ, καὶ συν-
θέντι σύμμετρός ἐστιν ἡ ΚΒ τῇ ΒΖ· ἀλλὰ ἡ ΒΖ τῇ
ΒΘ σύμμετρός ἐστι μήκει· καὶ ἐπεὶ πενταπλάσιόν ἐστι
τὸ ἀπὸ τῆς ΒΚ τοῦ ἀπὸ τῆς ΚΜ, τὸ ἄρα ἀπὸ τῆς
ΒΚ πρὸς τὸ ἀπὸ τῆς ΚΜ λόγον ἔχει ὃν, ε̄ πρὸς ᾱ·
ἀναστρέψαντι ἄρα τὸ ἀπὸ τῆς ΒΚ πρὸς τὸ ἀπὸ τῆς
Ν λόγον ἔχει ὃν, ε̄ πρὸς δ̄· οὐχ ὃν, τετράγωνος
πρὸς τετράγωνον· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΒΚ τῇ
Ν· ἡ ΒΚ ἄρα τῆς ΚΜ μεῖζον δύναται τῷ ἀπὸ ἀ-
συμμέτρου ἑαυτῇ· ἐπεὶ οὖν ὅλη ἡ ΒΚ τῆς προσαρ-

ΣΗΒΚ [illegible] ΤΣΒΘ
[illegible]